Ταῖς δὲ λοιπαῖς χρώμεθα μεταβάλλοντες πᾶν ῥῆμα εἰς μετοχὴν κατὰ τὴν χρείαν· καὶ τῇ μὲν ἀναφορικῇ καὶ ἀοριστολογικῇ καὶ ἐνάρθρως πολλάκις· ταῖς δὲ λοιπαῖς ἀνάρθρως. Καὶ ἐν μὲν τοῖς ἄλλοις τρόποις, τὸ προηγουμένην ἐνέργειαν σημαῖνον ῥῆμα μεταβάλλεται εἰς Μετοχήν· ἐν δὲ τῷ ῥηματικῷ, ἀδιαφόρως.

Ὅταν δὲ πολλαὶ τύχωσι μετοχαὶ πρὸς ἓν ἀποδιδόμεναι ῥῆμα· ἐὰν μὲν ταὐτοδυναμῶσιν ἀλλήλαις, συνδεδεμένως λέγονται· ἐὰν δὲ διαφέρωσιν, ἀσυνδέτως· οἷον. Κυμαίνουσαν οὖν ἔχων τοσαύταις φροντίσι τὴν ψυχὴν, συγκαλέσας τοὺς φίλους, καὶ τὸν παῖδα παραστησάμενος, ἡσυχῇ τοῦ σκίμποδος κουφίσας ἑαυτὸν, τοιούτων λόγων ἤρξατο. (Ἡρωδιαν. Α΄. γ΄.). Πολλάκις δὲ δυεῖν οὐσῶν μετοχῶν, παρεμπεσὸν τὸ ῥῆμα, συνδέσμου τόπον ἐπέχει· οἷον. Μείναντες δὲ ταύτην ἡμέραν, τῇ ἄλλῃ ἐπορεύοντο, πρωϊαίτερον ἀναστάντες. (Ξενοφ. Κύρ. Ἀνάβ. Γ΄. δ΄. ΄.). Καὶ σὺ γελάσας διῆλθές μοι παρατιθεὶς ἕκαστον. (Ξενοφ. Κύρ. Παιδ. Α΄. ς΄. 12.)

# Τῶν Προθέσεων.

## Τῶν δὲ Προθέσεων ἐν Σύνταξει καὶ Συνθέσει συντασσομένων·

### Ἡ μὲν Ἐν.

Ἐν μὲν Συντάξει σημαίνει· ά. Χρόνον· οἷον· Ἐν τῷ πρὶν χρόνῳ (Θουκυδ. ξυγγρ. Δ΄ κά.). β΄. Τόπον· οἷον· Οἱ ἐν Πελοποννήσῳ (Ἀῤῥιαν. Ἀνάβ. Ἀλεξ. Α. ζ΄. 5.). γ΄. Τὸ μεταξὺ· οἷον· Ἄμεινόν ἐστιν

οἰκεῖν ἐν πολίταις χρηστοῖς, ἢ πονηροῖς (Πλάτ. Ἀπολογ. Σωκράτ.). δ΄. Αὐτεξουσιότητα· οἷον· Γίγνεσθαι δέ τι αὐτῶν ἐν ἡμῖν ἐστὶν (Θουκ. ξυγγρ. στ΄. υιδ΄.). έ. Τὸ ἔμπροσθεν· οἷον· Μακρηγορεῖν ἐν εἰδόσιν ἡμῖν οὐ βούλομαι (Θουκυδ. ξυγγρ. Β΄. λστ΄.). στ΄. Τὸ ὄργανον· οἷον· Ἐν πέδαις δεδεμένον (Αἰσχ. περὶ Παραπρεσβ.). ζ΄. Τὸ κατά τι· οἷον· Περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης (Αἰσχ. κατὰ Τιμαρχ.). ή. Καὶ ἐν περιφράσει· οἷον· Ἐν φόβῳ εἶναι. Ἐν ὀργῇ ἔχειν τινά. Ἐν εὐμαρεῖ ποιεῖσθαι. Ἐν ἴσῳ εἶναι· καὶ τὰ τοιαῦτα.

Ἐν δὲ Συνθέσει. ά. Τὸ ἔνδον· οἷον· ἐνοικῶ. β΄. Ἐπίτασιν· οἷον· ἔμπειρος· γ΄. Τὸ μεταξὺ· οἷον· ἐμπίπτω. δ΄. Ἐναντιότητα· οἷον· ἐνίσταμαι. ἐ. Ἐπιβουλήν· οἷον· ἐνεδρεύω

## Ἡ δὲ Εἰς.

Ἐν μὲν Συντάξει σημαίνει. ά. Κίνησιν εἴς τι ἄψυχον· οἷον· Προσήκει τὸν παῖδα ἰέναι εἰς τὸ διδασκαλεῖον (Αἰσχ. κατὰ Τιμάρ.). β΄. Ἀναφοράν· οἷον· Εἰς μῆνιν τὴν ἀπὸ τοῦ θεοῦ ἀναφέρεσθαι (Ἀριαν. Ἀνάβ. Ἀλεξ. Α. θ΄. 11.). γ΄. Αἰτίαν· οἷον· Ἐς τὴν μαλακίαν σκώπτων (Δημοσθ. περὶ Στεφάν.). δ΄. Τὸ κατά τι· οἷον· Λοιδορεῖν τινα εἴς τι (Θουκυδ. ξυγγρ. Η΄ πή.). Εἰς πάντα πρῶτον εἶναι (Πλάτ. Λαχ.). έ. Τὸ ἕως· οἷον· Ἐκ παιδὸς εἰς γῆρας σώφρων (Αἰσχ. κατὰ Τιμάρχ.). Ναῦς εἰς τετρακοσίας (Θουκυδ. ξυγγρ. Α. ό.). στ΄. Διαίρεσιν· οἷον· Ἡ ἡμέρα διαιρεῖται εἰς τρία μέρη (Αἰσχ κατὰ Κτησιφῶντ.). ζ΄. Τάξιν· οἷον· Εἰς δύο ἄγειν τὸν λόγον (Ξενοφ. Κύρ. Παιδ Β΄. γ΄. Ϛ.). ή. Κίνησιν πρός τι ἔμψυχον· οἷον· Ἀφικνοῦμαι εἰς τὸν, καὶ τὸν (Λυσ. ὑπὲρ Ἐρατ. φόν.). θ. Τὸ ἐναντίον· οἷον· εἰς τοὺς ἀσεβεῖς τριάκοντα ἐνεπέσαμεν (Αἰσχ. περὶ Παραπρεσβ.). ί. Τὸ ἐντός· οἷον· Ὁ δῆμος εἰς ἱερὸν καθεζόμενος (Δημοθ. κατὰ Μηδ.). ιά. Τὸ ἐπάνω· οἷον· Εἰς τὴν στήλην ἀναγεγράφθαι (Αἰσχ. κατὰ Κτησφ.). ιβ΄. Ἐπιῤῥηματικῶς· οἷον· Ἐς ὑπερβολὴν (Αἰσχ. κατὰ Τιμ.).

Ἐν δὲ Συνθέσει· ά. Τὸ ἔσω· εἰσέρχομαι· εἰσάγω. β΄. Ἐπίτασιν· οἷον· εἰσακούω.

Σημ. Καὶ μετὰ τῶν ἐπιῤῥημάτων, εἰσαεὶ, εἰσάπαξ, διάρκειαν χρόνου, ἢ τρόπον σημαίνουσα.

## Ἡ δὲ Ἐξ, ἢ Ἐκ.

Ἐν μὲν Συντάξει σημαίνει· ά. Τὴν ἀπὸ τόπου κίνησιν· οἷον· Ἐξελαύνειν ἐκ τοῦ βουλευτηρίου (Αἰσχ. κατὰ Τιμάρχ.). β΄. χρόνον· οἷον· ἐξ ἀρχῆς (Δημοσθ. κατὰ Ἀνδροτίων). γ΄. Μεταβολήν· οἷον. Ἡγεμὼν ἐκ βασιλέως καθεστηκώς (Ἀριαν. Ἀνάβ. Ἀλεξ. Α΄. ιή. 6.) δ΄. Τὸ ὑλικὸν αἴτιον· οἷον. Ἐξ ὕελου ἡ κύλιξ. έ. Καταγωγήν· οἷον· Ἐξ Ἑβραίων ὁ Παῦλος. ϛ΄. Τὸ ἔξω· οἷον. Ἐκ ποδῶν, Ἐξ ὀφθαλμῶν. ζ. Τὸ ὕστερον· οἷον. Γελᾶν ἐκ τῶν πρόσθεν δακρύων (Ξενοφ. Κύρ. Παιδ. Α΄.) ή. Ἀντὶ ἐπιῤῥήματος· οἷον. Ἐκ τοῦ ἐμφανοῦς· Ἐξ ἀπροσδοκήτου. Ἐκ τοῦ εὐπρεποῦς· καὶ τὰ τοιαῦτα.

## Ἡ δὲ Σύν.

Ἐν μὲν Συντάξει σημαίνει. ά. Τὸ ὁμοῦ· οἷον. Σὺν τοῖς Ἕλλησι μᾶλλον· ἢ σὺν τῷ βαρβάρῳ εἶναι (Ξενοφ. Ἑλλην. Γ΄. ά. 18.). β΄. Βοήθειαν· οἷον· Ὅπως σὺν θεῷ ἀγωνιζώμεθα (Ξενοφ. Κύρ. Παιδείας Ά. έ. 7.).

Ἐν δὲ Συνθέσει· ά. Τὸ ὁμοῦ· οἷον· συμπάσχω. β΄. Τὸ διόλου· οἷον· συγκαλύπτω. γ΄. Τὸ ὀλίγον· οἷον· συστέλλω.

## Ἡ δὲ Πρός.

Ἐν μὲν Συντάξει, Γενικῇ μὲν· ά. Κίνησιν ἀπὸ προσώπου· οἷον. Πρὸς Θεοῦ τ' ἀγαθά· β΄. Ὅρκον· οἷον. Πρὸς τοῦ Πλούτωνος, ὦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Αἰακὲ, περιήγησαί μοι (Λουκιαν. ν. δ΄. Μενιπ. Αἰακ.). γ΄. Τὸ ἐνώπιον· οἷον· Δρᾶν οὐδὲν ἄδικον οὔτε πρὸς θεῶν, οὔτε πρὸς ἀνθρώπων (Θουκυδ. ξυγγρ. Α΄. οά.). δ΄. Τὸ ἴδιον· οἷον. Οὐ πρὸς τῆς ἡμετέρας δόξης τάδε (Θουκυδ. ξυγγρ. Δ΄. νγ΄.) έ. Συγγένειαν· οἷον· Ὁ πρὸς μητρὸς θεῖος (Λουκιαν. Ἐνύπν.) ϛ΄. Βούλησιν· οἷον. Ὅσα αὐτῷ πρὸς θυμοῦ ἦν (Ἀῤῥιαν. Ἀν. Ἀλεξ. Γ΄. Δ΄. 6.). Δοτικῇ δὲ ά. Τὸ ἐγγύς· οἷον. πρὸς ταῖς πύλαις ἦσαν (Λυσίας κατὰ Ἀγοράτ.). β΄. Προσθήκην· οἷον. Πρὸς τοῖς ἄλλοις κακοῖς (Δημοσθ. Ἐπις. γ΄.) Αἰτιατικῇ δὲ. ά. Κίνησιν πρός τι ἔμψυχον· οἷον. Ὅταν πρὸς ἐκεῖνον εἰσίω (Δημοσθ. κατα Στεφ. Ψευδ.). β΄. Ἀναλογίαν· οἷον. Ὀκτὼ πρὸς τέσσαρα. γ΄. Σύγκρισιν· οἷον. Τυφλὸς ὁ Λυγκεὺς ὡς πρὸς ἐμέ (Λουκιαν. Χάρ. ἢ Ἐπισκοπ.). δ΄. Καταφορὰν· οἷον. Γράφεται πρὸς τοὺς θεσμοθέτας (Δημοσθ. κατὰ Νεαίρ.). έ. Τὸ μεταξὺ· οἷον. Εἰ πρὸς ἀλλήλους ξυμβαίημεν (Θουκυδ. ξυγγρ. Δ΄. ξά.). ϛ΄. Αἰτίαν· οἷον. Ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν (Δημοσθ. Ὀλυνθ. Γ΄.). ζ΄. Τὸ ἐναντίον· οἷον. Πρὸς ταῦτα ἀντιταχθῆναι. (Αἰσχ. κατὰ Τιμάρχ.) ή. Σχέσιν· οἷον. Τεκμήριον τῆς πρὸς ἡμᾶς φιλίας (Ἰσοκρ. πρὸς Δημόν.)

Ἐν δὲ Συνθέσει. ά. Τὸ πλησίον· οἷον. προσβάλλει. β΄. Προσθήκην· οἷον. προστίθημι. γ΄. Κατ' ἐπιπολὴν· οἷον. προσψαύω.

## Ἡ δὲ Πρό.

Ἐν μὲν Συντάξει. ά. Τὸ ἔμπροσθεν· τοπικῶς μὲν· οἷον. Πρὸ τῶν ἄλλων· πρὸ τῆς θύρας· χρονικῶς δὲ· οἷον· Πρὸ πολλοῦ. β΄. Τὸ μᾶλλον· οἷον. Πρὸ παντὸς αὐτὸ δεξαίμην (Δημοσθ. προοίμ. δημηγ.) γ΄. Τὸ ἀναγκαῖον· οἷον· τῶν πρὸ ὁδοῦ τι περαίνεται (Δημοσθ. προοίμ. δημηγ.).

Ἐν δὲ Συνθέσει. ά. Τὸ ἔμπροσθεν· οἷον. προπύργιον. β΄. Τὸ πρότερον· οἷον· προπέρυσι. γ΄. Προτίμησιν· οἷον· προκάθημαι. δ΄. Τὸ πρόσω· οἷον· πρόοδος· έ. Τὸ ἔξω· οἷον· προῆλθε.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ψηφιοποίηση Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Ἡ δὲ Ἀνά.

Ἐν μὲν Συντάξει. ά. Τὸ διὰ μέσου· οἷον· Προσεκήρυξαν ἀνὰ τὴν χώραν (Ἀριαν. Ἀναβ. Ἀλεξ. Ε΄. ιθ΄. 9.). β΄. Τὸ καθ' ἕκαςον· οἷον. Ἀνὰ δηνάριον (Εὐαγγ. Ματθ. κ΄. 9.). γ΄. Τόπον· οἷον· Πολέμιοι. ἀνὰ τὸ πεδίον φαίνονται (Ἀριαν. Ἀναβ. Ἀλεξ. Γ΄. ζ΄. 12.)

Ἔτι χρόνον· οἷον· ἀνὰ πᾶσαν ἡμέραν. Ἀντὶ τῆς Ἐν κατὰ μετάληψιν· οἷον· Ἀνὰ στόμα ἔχειν· ἀντὶ ἐν στόματι.

Ἐν δὲ Συνθέσει. ά. Τὸ πάλιν καὶ πάλιν· οἷον. ἀνακρίνω. β΄. Τὸ ὀπίσω· οἷον· ἀναποδίζω. γ. Τὸ ἄνω· οἷον· ἀνέρχομαι. δ΄. Ὁμοίωσιν· οἷον. ἀναλογία. έ. Τὸ πέριξ· οἷον· ἀναβάλλομαι. ϛ΄. Ἐπίτασιν· οἷον· ἀνακράζω.

## Ἡ δὲ Κατά.

Ἐν μὲν Συντάξει· Γενικῇ μέν. ά. Καταφορὰν καὶ κατηγορίαν· οἷον· κατ' Αἰσχίνου ὁ λόγος. β΄. Τὸ ἐπάνω· οἷον· κατὰ τοῦ ὤμου παίει (Ἀριαν. Ἀναβ. Ἀλεξ. Α΄. έ. 2.). Κατ' ἀνθρώπου τὸ ζῶον λέγεται. γ΄. Τὸ κάτω μετὰ κινήσεως· οἷον· ὤθουν κατὰ κρημνῶν (Αἰσχ. περὶ Παραπρεσβ.). Αἰτιατικῇ δέ. ά. Τὸ ὅμοιον· οἷον· καθ' Ὅμηρον. β΄. Χρόνον· οἷον· κατὰ τὸν κατὰ Κροῖσον χρόνον (Ἡρόδοτ. Κλειοῖ. ξζ΄. γ΄.) γ΄. Τὸ κατόπιν· οἷον· ἰέναι κατὰ πόδας αὐτῶν. (Θουκυδ. ξυγγρ. Ε΄. ξδ΄.). δ΄. Τὸ καθ' ἕκαστον· οἷον· Ἵνα μὴ μόνον κατὰ πόλεις, ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύωσιν· (Δημοσθ. κατὰ Φιλίπ. γ΄.) έ. Τὸ μέρος· οἷον· κατά τι. ϛ΄. Τὸ ἀνῆκον καὶ κτῆσιν. οἷον· Τὸ κατ' ἐμέ (Δημοσθ. πρὸς Πολύκλ.). ζ΄. Τόπον, ἐν ᾧ· οἷον· Δεήσεις κατὰ τὴν ἀγορὰν (Αἰσχ. κατα Κτησ.). ή. Τὸ εὐθὺ· οἷον. Κατὰ σκοπὸν βάλλει. θ΄. Ἰδιότητα· οἷον· Ἀλλ' ὅπως κατὰ μόνας ἀδικῶσιν (Θουκυδ. ξυγγρ. Α΄. λξ.). ί. Ἐπιῤῥηματικῶς· οἷον· καθ' ὑπερβολὴν· κατὰ σπουδὴν· καὶ τὰ τοιαῦτα.

Σημ. Γενικῇ ἔσθ' ὅτε καὶ ἔπαινον· οἷον· Ὃ καὶ μέγιστόν ἐστι καθ' ἡμῶν ἐγκώμιον (Δημοσθ. Φιλιπ. Β.). Ἐπαγγελίαν ἐπὶ εὐχῆς· οἷον· Εὔχομαι κατὰ βοὸς καθ' ἑκατόμβης· ἀντὶ εὔχομαι τῷ θεῷ ὑπισχνούμενος βοῦν, ἢ ἑκατόμβην. Ὅρκον· οἷον Καθ' ἱερῶν τελείων ὄμνυμι. Αἰτιατικῇ δὲ· Αἴτιον· οἷον· Κατὰ τὸ ἄχθος τῶν Λακεδαιμονίων (Ἡρόδοτ. Ο. 37). Καὶ ἀντὶ γενικῆς· οἷον· Αἱ κατὰ τὸ σῶμα ἡδοναί.

Ἐν δὲ Συνθέσει. α. Ἐπίτασιν· οἷον· κατέφαγε. β'. Ἐναντιότητα· οἷον· κατηγορῶν. γ'. Τὸ κάτω. οἷον. καταβαίνω.

## Ἡ δὲ Διά.

Ἐν μὲν Συντάξει. Γενικῇ μὲν· α. Τὸ μέσον· οἷον. Διὰ θαλάσσης (Θουκυδ. ξυγγρ. Α'. β'.). Διὰ μέλανος γράφειν (Πλούταρχ. Σόλων.). Δι' ἡμερῶν τεσσαράκοντα (Πραξ. Ἀποσ. ά. 3.). β'. Τὸ διόλου· οἷον. Διὰ πάσης εἶχον καταστρώματα (Θουκυδ. ξυγγρ. Α'· ιδ'.). Δι' ἡμέρας (Ἡρόδ. Πολύμν. αἰ.). Διὰ βίου. γ'. Τὸ μέχρις· οἷον. Διὰ τέλους θαλπόμενοι (Πλούταρχ. περὶ τοῦ Ἀκου.). δ'. Τὸ ὕστερον· οἷον. Ὡς διὰ χρόνου κατῆρας (Πλάτ. Ἱππ. μείζ.). έ. Ἐπιρρηματικῶς· οἷον. Δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίνονται (Θουκυδ. ξυγγρ. Β'. ιά.). Αἰτιατικῇ δέ. ά. Αἰτίαν· οἷον. Ἀσθενὴς ἦν δι' ἀχρηματίαν (Θουκυδ. ξυγγρ. Α'. ιά.). β'. Τὸ ἀνῆκον· οἷον· Διάγε ἡμᾶς αὐτοὺς πάλαι ἂν ἀπολώλατε (Δημοσθ. περὶ Στεφαν.)

Ἐν δὲ Συνθέσει. ά. Τὸ μέσον· οἷον· διέρχομαι. β'. Χωρισμόν· οἷον· διΐστημι. γ'. Τὸ διόλου· οἷον· διαπερῶ. δ'. Ἐπίτασιν· οἷον· διακελεύομαι.

## Ἡ δὲ Μετά.

Ἐν μὲν Συντάξει. Γενικῇ μέν. ά. Τὸ ὁμοῦ· οἷον. Ἀγωνίζεσθαι εὖ μετὰ τοῦ δικαίου (Λυσίας ὑπὲρ Πολυστράτ.). β'. τρόπον· οἷον· Ποίει μηδὲν μετ' ὀργῆς (Ἰσοκρ. πρὸς Δημον.). γ'. Τὸ ἐν ᾧ· οἷον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Κ.Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλήψαντο (Θουκυδ. ξυγγρ. Α΄. ϛ΄.). Αἰτιατικῇ δέ. ά. Τὸ ὕστερον· οἷον, Μετὰ τρίτην ἡμέραν (Πλάτ. Φαίδρ.) β΄. Τὸ ἔν τινι· οἷον, Μετὰ χεῖρας ἔχειν (Ἀριαν. Ἀναϐ. Ἀλεξ. Β΄. δ΄. 14)

Ἐν δὲ Συνθέσει· ά. Κοινωνίαν· οἷον· μεταδίδωμι. β΄. Ἀλλαγὴν· οἷον· μεταβάλλω. γ΄. Τὸ ὕστερον· οἷον. μεταμανθάνω. δ΄. Τὸ ὀπίσω· οἷον· μετάφρενον. έ. Τὸ μεταξὺ· οἷον· μεταίχμιον.

## Ἡ δὲ Παρά.

Ἐν μὲν Συντάξει. Γενικῇ μέν. ά. τὴν ἀπὸ προσώπου κίνησιν· οἷον. Αἰτεῖσθαι τὰ ἀγαθὰ παρὰ τῶν θεῶν. (Ξενοφ. Κύρ. Παιδ. Α΄. ϛ΄. 9.). β΄. Τὸ ἀπὸ μέρους· οἷον. Τοῖς πλουσίοις παράγγελλε παρ' ἡμῶν (Λουκιαν. ν. δ. Διογ. καὶ Πολυδ.). Δοτικῇ δέ. ά. Τὸ πλησίον, κατὰ μὲν τόπον· οἷον. Καὶ οὐ ἄκοντες παρ' ἐμοὶ εἰσὶν (Ἀριαν. Ἀναϐ. Ἀλεξ. Β΄. ιδ΄. 14.). Κατὰ δὲ χρόνον· οἷον. οὐ καὶ παρ' ἡμῖν εἰσὶ καλοὶ κἀγαθοὶ ἄνδρες (Πλάτ. Μένω. κγ΄.). β΄. Αὐτεξουσιότητα· οἷον. Παρὰ σοὶ κεῖται. Αἰτιατικῇ δέ. ά. Κίνησιν πρός τι ἔμψυχον· οἷον. Μέλλοντας πέμψειν παρὰ βασιλέα (Θουκυδ. Ξυγγρ. Β΄. ζ΄.). β΄. Τὸ πλησίον· οἷον. Παρὰ τοὺς πόδας τῶν Ἀποστόλων (Πράξ. Ἀποσ. δ΄. 35.). γ΄. Τὸ ἔξω σκοποῦ καὶ ἐπαγγελίας· οἷον. Παρ' ἐλπίδα (Θουκυδ. Ξυγγρ. δ΄. ξϛ΄.). δ΄. Χρόνον· οἷον. Τὴν ἠιόνα παρὰ νύκτα λαϐεῖν (Θουκυδ. ξυγγρ. Δ΄. ρϛ΄.). έ. Τὸ αὐτίκα καὶ ὕστερον· οἷον Τιμωρίαις παρ' αὐτὰ τὰ ἀδικήματα χρῆσθαι (Δημοσθ. περὶ Στεφ.). ϛ΄. Τὸ ὀλίγον· Παρὰ τοσοῦτον ἦλθον διαδρᾶναι (Λουκιαν. Ἀληθ. Ἱστορ.). ζ΄. Ἐτυμολογίαν· οἷον. Ἀπόλλων παρὰ τὸ ἀπολλύειν.

Σημ. Ἔτι αἰτιατικῇ σύγκρισιν· οἷον· Ὁρῶν τὰ ἐπιτηδεύματα αὐτῶν ἐγγύθεν παρὰ τὰ τῶν ἄλλων. Τὸ ἐναντίον· οἷον· Τοῦτ' ἔστι παρὰ τοὺς τῶν θεῶν θεσμούς. Ἀντὶ τῆς ὑπέρ· οἷον· Ἐπόνει παρὰ τοὺς ἄλλους. Αἰτίαν· οἷον· Ἀπηύξηται (ὁ Φίλιππος) παρὰ τὴν ἡμετέραν ἀμέλειαν (Δημοσθ. Φιλιππ. ά.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΦΑ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἐν δὲ συνθέσει. ά. Τὸ ἐγγὺς· οἷον. πάρεδρος β΄. Τὸ ἔξω τοῦ ὀρθοῦ· οἷον· παράλογον. γ΄. Τόπου μεταβολὴν· οἷον· παραλλάττω. δ΄. Ταχύτητα μετ' ἐγγύτητος· οἷον· παραπείθειν. έ. Τὴν εἰς τὸ μέσον ἄφιξιν· οἷον· παῤῥησία. ϛ΄. Ὀλιγωρίαν· οἷον· παρορῶ. ζ΄. Τὸ πλέον· οἷον· παρήλασε. ή. Ὕφεσιν· οἷον· παραφαίνει.

## Ἡ δὲ Ἀντί.

Ἐν μὲν Συντάξει. ά. Ἀμοιβὴν· οἷον· Ἐρωτᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι (Δημοσθ. περὶ Στεφ. υιβ΄.). β΄. Τὸ μᾶλλον· οἷον. Ἀντὶ πολλῶν χρημάτων ἑλέσθαι νομίζω (Δημοσθ. Ὀλυνθ. ά.)

Ἐν δὲ Συνθέσει. ά. Ἰσότητα· οἷον· ἀντίθεος, ὁ ἰσόθεος. β΄. Τὸ ἐναντίον· οἷον· ἀντίπαλος. γ΄. Ἀμοιβὴν· οἷον· ἀντιδίδωμι. δ΄. Ἰδιοποίησιν· οἷον· ἀντιποιοῦμαι. έ. Τόπου ἐποχὴν· οἷον· ἀνθύπατος.

## Ἡ δὲ Ἐπί.

Ἐν μὲν Συντάξει. Γενικῇ μὲν· ά. Τὸ ἐπάνω· οἷον. Ἄγεσθαι ἐφ' ἁρμαμάξης ('Αριαν. 'Αναβ. 'Αλεξ. Γ΄. κά. 6.). β΄. Τάξιν· οἷον· 'Επὶ τριῶν εἰς βάθος ταχθῆναι ('Αριαν. Ἰνδ. κδ΄. 6.). γ΄. Χρόνον· οἷον· 'Επὶ ἄρχοντος Πυθοκλέους (Δημοσθ. περὶ Στεφ. ψηφ.) δ΄. 'Επιστασίαν· οἷον· Ὁ ἐπὶ τραπέζης. έ. Τὸ ἔμπροσθεν· οἷον. Γράψομαί σε ἐπὶ τοῦ 'Ραδαμάνθυος(Λουκιαν. Νεκυομαντ.). ϛ΄. Τὸ σύνεγγυς· οἷον. 'Επικαθήμενοι ἐπὶ τῆς τραπέζης (Δημοσθ. πρὸς Τιμόθ.). ζ΄. Κίνησιν, ἀττικῶς· οἷον· 'Ανεχώρησαν ἐπ' οἴκου ( Θουκυδ. ξυγγρ. Ά. λ΄.). Δοτικῇ δέ. ά. Αἰτίαν· οἷον. 'Επὶ δίκαις καὶ ἀρχαῖς (Θουκυδ. ξυγγρ. Η΄. νδ΄.). β΄. Δύναμιν καὶ αὐτεξουσιότητα· οἷον· 'Επὶ τῇ τῶν ῥητόρων δυνάμει καταστῆσαι τὸ πρᾶγμα (Δημοσθ. κατὰ 'Ανδροτ.) γ΄. Τὸ ὕστερον· οἷον. 'Επὶ τοῖς ἄλλοις καὶ τοὺς ἀντιστρατηγοὺς κο-

ρίσαι (Θουκυδ. ξυγγρ. Ζ'. λς'.). δ'. Συνθήκην· οἷον. Ἐπὶ ὀκτὼ ὀβολοῖς δανείζουσι τοῦ μηνὸς τὴν μνᾶν (Δημοσθ. πρὸς Νικόστρ.). έ. Προσθήκην· οἷον. Ἐπίταγμα ἕτερον ἐφ' ἑτέρῳ ἐπιτάττειν (Αἰσχ. κατὰ Τιμάρχ.). ς'. Τὸ ἐγγύς· οἷον. Οἱ ἐπικαθήμενοι ἐπὶ τῇ τραπέζῃ (Δημοσθ. ὑπὲρ Φορμίων.). ζ'. Τὸ ἐναντίον· οἷον. Τὸν νόμον ἐφ' ἡμῖν αὐτοῖς μᾶλλον, ἢ ἐφ' ἡμῖν θήσετε (Θουκυδ. ξυγγρ. Ά. μ'.). Αἰτιατικῇ δέ. ά. Κίνησιν· οἷον· Ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετο (Δημοσθ. περὶ Στεφάν.). β'. τὸ ἐναντίον· οἷον· Θηβαῖοι τούτοις ἀεὶ συμμάχοις ἐπὶ Λακεδαιμονίους χρῶνται (Δημοσθ. περὶ Μεγαλοπολιτ.). γ'. Ἐπιστασίαν· οἷον· Οἱ ἐπὶ τὸ θεωρητικὸν κεχειροτονημένοι (Αἰσχ. κατὰ Κτησιφῶντ.). δ'. Χρόνον· οἷον· Βοαὶ ἐπὶ πολλὰς νύκτας ἐγένοντο (Ἀῤῥιαν. Ἀναβ. Ἀλεξ. Ε'. ιά. 3.). έ. Τὸ ἐπάνω· οἷον. Οἱ δὲ Πέρσαι ἑζόμενοι ἐπὶ τὸν κατεναντίον τῆς ἀκροπόλεως ὄχθον (Ἡρόδοτ. Οὐραν. ιβ'.). ς'. Τὸ ὑποκάτω· οἷον. Ποιησάμενοί τε αὐτὸν ἐπ' ἐξουσίαν (Ἡρωδιαν. ά. 9.). ζ. Ἐπιῤῥηματικῶς. Ἐπὶ πολύ. Ἐπὶ μέγα.

Ἐν δὲ Συνθέσει. ά. Ἐπίτασιν· οἷον· ἐπίψογος. β'. Τὸ ἐπάνω· οἷον· ἐπουράνιος. γ'. Ὁρμὴν· οἷον· ἐφικνοῦμαι. δ'. Ἐναντιότητα· οἷον· ἐπίορκος· έ. Τὸ ὄπισθεν· οἷον· ἐπανῆλθ.ν. ς'. Τὸ ὕστερον· οἷον· ἐπίλογος. ζ'. Τὸ ἔτι· οἷον· ἐπιποθῶ.

## Ἡ δὲ Περί.

Ἐν μὲν Συντάξει· Γενικῇ μέν. ά. Ὑπόθεσιν· οἷον· Περὶ προθέσεως γράφω. β'. Τὸ μᾶλλον· οἷον. Περὶ πολλοῦ ποιεῖσθαι (Λυσίας ἀπολ. ὑπὲρ Ἐρατοσθ.). γ'. Αἰτίαν· οἷον· Οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι (Δημοσθ. περὶ Στεφ.). δ'. Βοήθειαν· οἷον. Περὶ τοῦ δικαίου μάχεσθαι (Λυσ. Ἐπιτ.). Δοτικῇ δέ. ά. Τὸ κύκλῳ. οἷον· Θώρακα περὶ τοῖς στέρνοις ἔχοντες (Ξενοφ. Κύρ. Παιδ. Ά. β'. 13.). β'. Τὸ ποιητικὸν αἴτιον ἐπὶ τοῦ Δέδοικα μόνου καὶ τῶν ὁμοίων· οἷον· Δέδοικα περὶ τῷ παιδί. Αἰτιατικῇ δέ. ά. Τὸ πέριξ· οἷον· Οἷα καὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ερ. Δ. τ. Φ. Κ.τ. ΙΩΑΝΝΙΝΑ 2006

νῦν περὶ τόν δε ὁρᾶτε (Θουκ. ξυγγραφ. Β'. λέ.). β'. Περιποίησιν· οἷον· Χρηστὸς περὶ τὸν δῆμον (Λυσ. κατ' Ἀγοράτ.)· γ'. Ὑπόθεσιν. οἷον· Γραμματικοῦ καὶ ἡ περὶ ταῦτα θεωρία (Θεοδώρ. Γαζ. Γραμματ. τὸ Δ'.).

Σημ. Ἔπι Αἰτιατικῇ χρόνον· οἷον· Περὶ τὰ Τρωικά. Τὸ σχεδὸν· οἷον· περὶ τρισχιλίους.

Ἐν δὲ Συνθέσει. ά. Τὸ κύκλω· οἷον. περιάγομαι. β'. Ἐπίτασιν. οἷον· περίλυπος. γ'. Τὸ κρεῖττον· οἷον· περιγίνομαι.

## Ἡ δὲ Ἀμφί.

Ὁμοιόσημος καὶ ὁμοιοσύντακτός ἐστι τῇ Περὶ, συνηθεστέρα μέντοι ἡ Περὶ· οἱ δὲ ποιηταὶ ἅμα χρῶνται ἀμφοτέραις ἐνίοτε· οἷον· ἀμφὶ περὶ κρήνην (Ὁμηρ. Ἰλιάδ. Β'. στίχ. 305.).

## Ἡ δὲ Ἀπό.

Ἐν μὲν Συντάξει· ά. Τὴν ἀπὸ τόπου κίνησιν· οἷον· Ἀπὸ τῆς ἀγορᾶς. β'. Τὴν ἀπὸ προσώπου κίνησιν· οἷον· Ἀπὸ τοῦ δικαίου. γ'· Τόπον ἄνευ κινήσεως· οἷον· Θεωμένων τῶν Περσῶν ἀπὸ τῆς Μυκάλης (Ἀριαν. Ἀνάβ. Ἀλεξ. Ά. ιθ'. 3). δ'. Τὸ μέρος· οἷον· Ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι (Ξενοφ. Κύρ. Παιδ. Ά. έ'. 8). έ. Χρόνον· οἷον· Ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου (Αἰσχ. κατὰ Κτησιφῶντ. στ'.) ς'. Τὸ μακρὰ· ἴο· Ἵνα μὴ ἀπ' οἴκου ὦσιν (Θουκ. ξυγγραφ. Ά. υθ.). ζ'. Τὸ ἄνευ· οἷον· Αὐλίζεσθαι ἀπὸ τῶν ὅπλων (Θουκ. ξυγγραφ. ς'. ξδ'.). ή. Τὸ ἔξω· οἷον· Οὐκ ἀπὸ σκοποῦ (Γρηγόρ. Ναζιαν. εἰς Βασίλ.) θ'. Γενεαλογίαν· οἷον· Τῶν ἀφ' Ἡρακλέους (Θουκ. ξυγγραφ. Ά. κδ'.). ί. Τὸ ὕστερον· οἷον· Πρὸ δείπνου ἢ ἀπὸ δείπνου (Ἀντιφ. κατὰ φαρμακ. έ.)· ιά. Τὸ ποιητικὸν αἴτιον· οἷον· Πλούσιοι ἀπὸ τῆς πόλεως ἐγένοντο (Δημοσθ. κατὰ Τιμάρχ.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

Ἐν δὲ Συνθέσει. ά. Στέρησιν· οἷον· ἀπάνθρωπος. β΄. Μακρὰν· οἷον· ἀφίσταμαι. γ΄. Μόλις· οἷον· ἀπαυδῶ. δ΄. Ἄρνησιν· οἷον· ἀπόφημι. έ. Πάλιν· οἷον· ἀποκαθιστῶ. στ΄. Χρεοστικῶς· οἷον· ἀπαιτῶ. ζ΄. Πάντοθεν· οἷον· ἀποφράττω. ή. Τὸ ὕστερον· οἷον· ἀπόδειπνον. θ΄. Ἔμφασιν· οἷον· ἀπεργάζομαι.

## Ἡ δὲ Ὑπό.

Ἐν μὲν Συντάξει. Γενικῇ μέν. ά. Τὸ ποιητικὸν αἴτιον· οἷον. Πυλαγόρας χειροτονηθεὶς ὑφ' ὑμῶν (Αἰσχίν. κατὰ Κτησιφ.). β΄. Τὴν ἀπὸ προσώπου κίνησιν· οἷον· Πεμφθεὶς ὑπὸ τοῦ Διὸς (Λουκιαν. Τίμ. ἢ μισάνθρ.). γ΄. Τὸ ὑποκάτω· οἷον· Ὑφ' εἵματος κρύπτειν χεῖρα (Εὐρυπ. Ἑκάβ. στίχ. 349). Δοτικῇ δέ. ά· Τὸ ὑποκάτω· οἷον· Ὑπὸ τοῖς προκαλύμμασιν ἐργάζεσθαι. (Ἀριαν. Ἀνάβ. Ἀλεξ. δ΄. κά. 11)· β΄. Ὑποταγήν· οἷον· Ὑπὸ τοῖς βαρβάροις εἶναι (Ἀριαν. Ἀνάβ. Ἀλεξ. Α΄ ιή. 2). γ΄. Τὸ ἐνώπιον· οἷον· Λέγω δὲ ὑπὸ θεῷ μάρτυρι (Γρηγορ. Ναζιαν. Ἐπιστ.)· Αἰτιατικῇ δέ. ά. Τὸ ὑποκάτω· οἷον· Τῶν ὑπὸ τῶν ἥλιον ἀνθρώπων (Αἰσχ. περὶ Παραπρεσβ.). β΄. Ὑποταγήν· οἷον· Τάδε πάντα πειρᾶσθαι ὑπὸ σφᾶς ποιεῖσθαι (Θουκ. ξυγγρ. Α. ξ΄).

Ἐν δὲ Συνθέσει. ά. Τὸ ὑποκάτω· οἷον. ὑποτίθημι. β΄. Μείωσιν· οἷον· ὑπόλευκος. γ΄. Τὸ λάθρα· οἷον· ὑποκλέπτω. δ. Τὸ ἀμέσως· οἷον· ὑπολαβών. έ. Ἔμφασιν· οἷον· ὑπολείπω. ὑπόδειγμα.

## Ἡ δὲ Ὑπέρ.

Ἐν μὲν Συντάξει. Γενικῇ μέν· ά. Βοήθειαν· οἷον· Ἡ εἰσαγγελία ἐδόθη ὑπὲρ Ἀριστάρχου (Δημοσθ. κατὰ Μειδ.). β΄. Τὸ ἐπάνω· οἷον· Ὑπὲρ τῶν ἀσπίδων ἐπικυλίεσθαι (Ἀριαν. Ἀνάβ. Ἀλεξάνδρ. Α΄. ά. 13). γ΄. Αἰτίαν· οἷον· Ὑπὲρ δόξης καὶ ἐλευθερίας τελευτήσαντες (Δημοσθ. κατ' Ἀριστοκρατ.). Αἰτιατικῇ δέ. ά. Τὸ πλέον· οἷον· Ὅ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. ΠΕΤΣΙΟΣ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σοι τι διαχειρίζουσιν ὑπὲρ τριάκοντα ἡμέρας (Αἰσχ. κατὰ Κτησιφ.). β΄. Τὸ ἐπέκεινα· οἷον· Ὑπὲρ τὴν Θράκην ἢ Μακεδονία. γ΄. Τὸ μᾶλλον· οἷον· Ὑπὲρ χιόνα λευκανθήσομαι (Ψαλμ. ν΄. στίχ. γ΄.). δ΄. Τὸ ὑπεράνω· οἷον· Ῥίπτουσιν ὑπὲρ τὸν δόμον (Ἡρόδ. Μελπ. ρπή.).

Ἐν δὲ Συνθέσει. ά. Βοήθειαν· οἷον· ὑπέρμαχος· β΄. Τὸ ἐπέκεινα· οἷον· ὑπερήμερος. γ΄. Ἐπίτασιν· οἷον· ὑπέρπλουτος. δ΄. Τὸ ὑπεράνω· οἷον· ὑπέρθεος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

### Σημείωσις.

Ἀλλὰ γὰρ τὰ Προθέσεων σημαινόμενα πολλά εἰσι, καὶ ποικίλα, κατὰ τὰς πολυσχεδεῖς καὶ πολυτρόπους χρήσεις τῶν λογίων· καὶ τὸ μὲν γραμματικαῖς ἐμπεριλαβεῖν δυσχερές· τὸ δὲ εἰπεῖν, ὅσα πρὸς ὑπόδειγμα κείμενα, κινήσει τὴν περιέργειαν τῶν μαθητιώντων, εἰς ἀνεύρεσιν τῶν, εἴ τι παρελήφθη, γραμματικοῦ μάλιστα· ἐκ γὰρ τούτων καὶ τὰ λοιπὰ εὐχερῶς μαντεύσεται ἕκαστος.

## Τῶν Ἐπιῤῥημάτων.

Τὰ δὲ Ἐπιῤῥήματα ἐν τῇ Συντάξει, ἤτοι ἀπολύτως λέγονται, πρὸς ῥῆμα φερόμενα, χωρίς τινος πρὸς ἄλλο ἀναφορᾶς· ἢ σχετικῶς κατ' ἀναφορὰν καὶ ἀνταπόδοσιν πρὸς ἄλληλα λεγόμενα· οἷον· τῶν χρονικῶν τὸ· τότε, ὅτε· πηνίκα, ἡνίκα· τέως, ἕως· τῶν τοπικῶν τὸ· ἐκεῖσε, ὅπη· οὗ, ἐκεῖ· καὶ τὰ παραβολικά· ὥσπερ, οὕτως·



Ε.Υ. Δ.Π.Ι.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Συντάσσονται δὲ τετραχῶς· ἤτοι Ὀνοματικῶς πρὸς ὄνομα φερόμενα· οἷον· φεῦ τοῦ μεγέθους! ἢ Ῥηματικῶς, πρὸς ῥῆμα· οἷον· εὖ ἔχει· ἢ Συναμφοτέρως· οἷον· πόῤῥω ἡμῶν οἰκεῖ· ἢ Οὐδετέρως· οἷον· εἶεν· ἔστω.

Καὶ ὀνοματικῶς μὲν συντασσόμενα, φέρονται πρὸς μὲν Γενικὴν· τὰ Χρονικά· οἷον· Ποτὲ τοῦ Χρόνου· τὰ Τοπικά· οἷον. Πόῤῥω τῆς Χώρας· τὰ Παραθετικά· οἷον. Μᾶλλον τῶν ἄλλων. Μάλιστα πάντων· τὰ Ἐπικρυπτικά· οἷον. Λάθρα τῶν ἄλλων· τὰ Ποσότητος· οἷον. Δὶς τῆς ἡμέρας· τὰ Διαιρετικά· οἷον· Χωρὶς τῶν ἄλλων· τὰ Τακτικά· οἷον. Ἐφεξῆς τοῦ ἑνὸς τὰ δύο. τὰ Θαυμαστικά· οἷον. Ὦ τοῦ θαύματος! Τὰ Σχετλιαστικά· οἷον. Φεῦ τῶν κακῶν! Τὰ ποιότητος μετὰ τοῦ ἔχω· οἷον. Εὖ ἔχω τοῦ σώματος· Εὖ ἥκει φρενῶν. Ἅλις ἂν εἴη τούτου. μοναδικὰ δὲ ταῦτα. Πρὸς δὲ Δοτικὴν· τὰ Ἀθροιστικά· οἷον· ἅμα, ὁμοῦ τοῖς ἄλλοις· τὰ Σχετλιαστικά· οἷον. Οὐαί μοι! Οἴμοι τῷ ἀθλίῳ! Ὦ μοί, μοί (Λουκιαν. Χάρ. ἢ Ἐπισκοπ.)! Τὰ Θετικά, διὰ τὸ ἐνὸν αὐτοῖς ἀπρόσωπον· οἷον. Γραπτέον ἡμῖν· πρὸς δὲ Αἰτιατικὴν τὰ Ὀμοτικά· οἷον. Νὴ Δία, καταφατικῶς. Μὰ Δία, ἀποφατικῶς· καὶ τὰ Σχετλιαστικά· οἷον. Αἴ με μὴ ἀποῤῥίψαντα (Βασίλ. περὶ Βαπτίσματ.)! Τὰ Θετικά, διὰ τὸ ἐνὸν ἀπαρέμφατον· οἷον. Γραπτέον ἡμᾶς· πρὸς δὲ Κλητικὴν· οἷον· ὦ Πέτρε· ὦ Ἀθῆναι! Ὀνοματικῶς δὲ συντάσσονται, καὶ ὅσα μιμοῦνται τὴν πτῶσιν τῶν ὀνομάτων ἢ ῥημάτων, ἐξ ὧν παράγονται· οἷον· Γενικῇ μὲν· οἷον· ἀξίως λόγου, ὅτι ἄξιος λόγου· ὀλιγώρως χρημάτων· ὅτι ὀλιγωρῶ χρημάτων. Δοτικῇ δὲ· οἷον· ὁμοίως τοῖς ἄλλοις, ὅτι ὅμοιος τοῖς ἄλλοις· δοτέον σοι ἀργύριον· ὅτι δίδωμί σοι ἀργύριον· χρηστέον ταῖς βίβλοις, ὅτι χρῶμαι ταῖς βίβλοις. Αἰτιατικῇ δέ· οἷον· γραπτέον ταῦτα.

Ῥηματικῶς δὲ συντασσόμενα, φέρονται, τὰ μὲν ἀδιαφόρως πρὸς πάντας τοὺς χρόνους, μηδεμίαν χρόνων διαφορὰν ἰδίαν ἔχοντα· οἷον· Τότε ἔγραψα, γράψω, γράφω· τὰ δέ, οὐ πρὸς πάντας ἀδιαφόρως,

ἀλλὰ πρὸς οὓς τὸ ἴδιον σημαινόμενον ἀπαιτεῖ· οἷον· χθὲς ἔγραψα· σήμερον γράφω· αὔριον γράψω.

## Περὶ Χρονικῶν.

Τῶν μὲν δὴ Χρονικῶν τὸ μὲν Νῦν καὶ Σήμερον πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσεται· οἷον. Νῦν πειρᾶται. Νῦν ἥξει. Νῦν πέπαυται, Νῦν ἐνίκησε· τὸ δὲ Ἄρτι καὶ τὰ ἰσοδυναμοῦντα, παρῳχημένῳ· οἷον. Ἄρτι πεποίηκε· τὸ δὲ Αὐτίκα, Ἐσαεὶ, καὶ αὖθις, μέλλοντι· οἷον. Αὐτίκα ποιήσω· Ἐσαεὶ ἔςαι κίνησις· Αὖθις διδάξω.

Τὸ δὲ πρώην, καὶ πάλαι, παρῳχημένω· οἷον. Πρώην ἐλήλυθε· Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι· τὸ δὲ Ἤδη κοινὸν μέλλοντος καὶ παρήκοντος· πλὴν τοῦ ὑπερσυντελικοῦ· Ἤδη βεβάδικα, Ἤδη βαδίσω.

Τὸ δὲ πρὶν παρῳχημένῳ· οἷον. Πρὶν εἶπε· καὶ ἀπαρεμφάτῳ· οἷον. Πρὶν εἰπεῖν· καὶ μετὰ τοῦ Ἢ· οἷον. Πρὶν ἢ εἰπεῖν· καὶ ὑποτακτικῇ μετὰ τοῦ ἂν· οἷον. Πρὶν γένηται, καὶ Πρὶν ἂν γένηται· καὶ εὐκτικῇ, δυνητικοῦ ὄντος τοῦ ἂν· οἷον· Πρὶν παραθεῖεν αὐτῷ ἄριςον (Ξενοφ. Κύρ. Αναβ. Δ΄. έ.)

Τὸ δὲ ἕως, Μέχρις, Ἄχρι, Ὁριςικῇ, ἐν παρεληλυθότι· οἷον. Ἕως ταῦτα ἔπραττε· καὶ ἕως οὗ ταῦτα ἔπραττε· καὶ ὑποτακτικῇ μετὰ τοῦ ἂν· οἷον. Ἕως ἂν λάθω (Λουκιαν. Τίμ. ἢ Μισάνθρ.). Καὶ ἕως οὗ ἔλθω· καὶ εὐκτικῇ, δυνητικοῦ ὄντως τοῦ ἂν· οἷον. Μέχρις οὗ ἀφίκοιτο (Ἡρόδ. Εὐτέρπ.). Καὶ πρὸς ἀπαρέμφατον· οἷον. Ἕως παρατεῖναι· καὶ πρὸς ἐπίρρημα· οἷον. Μέχρι πρώην· καὶ πρὸς προθετόπτωτον· οἷον. Ἄχρι πρὸς ἑσπέραν (Λουκιαν. Ἐνυπν.).

Τὸ δὲ Οὐκέτι, Οὐδέποτε, ἀδιαφόρως τοῖς χρόνοις συντάσσονται, πλὴν τοῦ παρακειμένου· τὸ δὲ οὐδεπώποτε, παρῳχημένῳ· τὸ δὲ Οὔπω, παρῳχημένῳ καὶ ἐνεστῶτι· οἷον. Οὔπω γίνεται. Οὔπω γέγονεν·

### Σημείωσις.

Ἀλλ' ἐν τούτοις τὴν χρῆσιν ἢ τὸ κατεπεῖγον τῆς ἐννοίας μετὰ παρατηρήσεως διωκτέον· πρὸς τὴν παράτασιν, καθ' ἣν ἡ σημασία αὐτῶν ἐκτείνεται· καὶ πρὸς τὰ λοιπὰ μόρια, μεθ' ὧν λέγεται, ἀφορῶντας· μηδὲ κανόνας ἀπαιτητέον, μηδὲν ἀκριβὲς εἰπεῖν ἔχοντας.

### Περὶ Τοπικῶν.

Τῶν δὲ Τοπικῶν Ἐπιρρημάτων τὰ μὲν εἰς θεν, τὴν ἀπὸ τόπου σημαίνει κίνησιν· τὰ δὲ εἰς ζε, σε, δε, τὴν εἰς τόπον· τὰ δὲ εἰς θι, σι οι ςάσιν· ἔςι δ' ἃ, διφορεῖται. Ταῦτα δὴ μετὰ τοῦ προσήκοντος σφίσιν ἠρεμίας ἢ κινήσεως ῥήματος συντάσσεται· οἷον. Οἴκοι εἰμί. Οὐρανόθεν κατέρχομαι. Πορεύομαι οἴκαδε· ἐν οἷς τοῦ σαφοῦς χάριν τὸ μὲν ὅλον τίθεται ἐπιρρηματικῶς, τὸ δὲ μέρος προθετοπτώτως· οἷον. Οἴκοθεν ἐκ τῆς Ἀττικῆς. Οἴκαδε εἰς τοῦ Πολεμάρχου (Πλάτ. Πολιτικ. Α.). Ἐλθόντες οἴκαδε ὡς ἐμέ (Λυσίας Ἀπολ. ὑπὲρ Ἐρατ. φόν.)

### Περὶ τῶν Ποιότητος.

Τὰ δὲ Ποιότητος μετὰ τοῦ ἔχω γενικῇ συντάσσονται· οἷον. Εὖ ἔχω τοῦ σώματος. Οὕτως ἔχω γνώμης. εὑρίσκεται δὲ καὶ αἰτιατικῇ· οἷον. Οὕτω τὴν γνώμην ἔχετε (Θουκυδ. ξυγγρ. Ζ'. ι'.). Τὰ πρὸς τοὺς θεοὺς δεισιδαιμόνως ἔχει (Λουκιαν. ὑπὲρ τῶν εἰκόν.). Οὕτω διάκεισο τὴν γνώμην (Ἰσοκράτ. πρὸς Νικοκλ.).

### Περὶ Παρακελευσματικῶν.

Τὰ δὲ παρακελεύσεως τοῖς δευτέροις τῶν προστακτικῶν ῥημά-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΑΓΡΑΦΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
ΕΡΓ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

των προσώποις συντάσσεται· οἷον. Φέρ' εἰπέ. Δεῦτε λέγετε· καὶ προσέτι τοῖς αὐθυποτάκτοις τῶν ῥημάτων· οἷον. Ἄγε εἴπω, καὶ εἴπωμεν.

## Περὶ τῶν Ἐξαιρέσεως.

Τὰ δ' Ἐξαιρέσεως Γενικῇ συντασσόμενα· οἷον. Πλήν σου· μεσοσυλλαβοῦντος τοῦ Ἤ, ὅμοια ἀπαιτεῖ τὰ ἑπόμενα τοῖς ἡγουμένοις· οἷον. Ἄδηλον παντὶ πλὴν ἢ τῷ Θεῷ (Πλάτ. Ἀπολ. Σωκρ.). Καὶ χωρὶς τοῦ ἤ· οἷον. Πᾶσι φοβερὸς πλὴν αὐτοῖς ἐκείνοις (Πλούταρχ. Ἀριστίδ. λέ.).

## Περὶ Ἀποθετικῶν.

Τοῖς δ' Ἀποθετικοῖς χρώμεθα, ὅταν λόγου μακροτέρου πέρας δηλῶσαι δέῃ, συγκατατιθέμενοι, καὶ ἀρχήν τινα ποιῆσαι βουλόμενοι· οἷον. Εἶεν· τῶν δὲ δὴ χρόνων διὰ τί (Δημοσθ. περὶ Παραπρεσβ.).

## Περὶ Ἀποφατικοῦ, καὶ Ἀπαγορευτικοῦ.

Τὸ μὲν Ἀποφατικὸν Οὐ ὁριστικῇ συντάσσεται· οἷον. Οὐ γινώσκω· καὶ εὐκτικῇ μετὰ τοῦ ἄν· οἷον. Οὐκ ἂν εἴποις· τὸ δὲ Ἀπαγορευτικὸν Μη. πάσαις ταῖς παρὰ τὴν ὁριστικὴν ἐγκλίσεσιν· οἷον. Μὴ λέγε. Μὴ εἴποις. Ἐὰν μὴ εἴπῃς· πλὴν τοῦ δευτέρου προσώπου τοῦ ἀορίστου τῶν προστακτικῶν· ἀνθ' οὗ τὸ ὑποτακτικὸν κατάλληλον· οἷον. Μὴ γνῷς· Μὴ ἔλθῃς· καὶ ὁριστικῇ δὲ, ἐὰν κατ' ἀνάλυσιν ᾖ Μετοχῆς, ἢ ἀπαρεμφάτου· οἷον. Δῆλον οὖν, ὅτι οὐκ ἂν προέλεγεν, εἰμὴ ἐπίστευσεν, ἀληθεύσειν (Ξενοφ. Απομνημ. Α. α.). ἤτοι μὴ πιστεύσας.

Ἔτι δὲ τὸ Μὴ, ἐὰν ἀφ' ἑτέρας ἐξαρτᾶται ἐννοίας, ἀπὸ μὲν ἐνεστῶτος πρὸς ὑποτακτικόν· οἷον. Φοβοῦμαι μή τι γένηται· ἀπὸ δὲ παρῳχημένου, πρὸς εὐκτικόν· οἷον. Ἐφοβήθην μή τι γένοιτο.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ε.Δ. τμ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

### Περὶ Βεβαιωτικῶν.

Τὸ δὲ Βεβαιωτικὸν Ὅτι, ἀφηγηματικοῦ ἡγουμένου, ἀπὸ μὲν ἐνεστῶτος πρὸς ὁριστικὸν φέρεται· οἷον. Λέγει ὅτι ἥξει· ἀπὸ δὲ παρῳχημένου, πρὸς εὐκτικὸν· οἷον. Ἠγγέλλετο ὅτι γένοιτο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΓΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ

### Περὶ Ἐρωτηματικῶν.

Τὰ δὲ Ἐρωτιματικὰ ὁριστικοῖς συντασσόμενα ῥήμασιν· οἷον. Πόθεν ἔρχῃ; Πῶς ἔχεις; διαπορητικῶς δὲ, πρὸς ὑποτακτικὸν φέρονται· οἷον. Ὁ Ἀστύοχος ἠπόρει, ὅποι βοηθήσῃ (Θουκυδ. ξυγγρ. Η΄. 61.)· Καὶ πρὸς εὐκτικὸν· οἷον· Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνοι (Εὐαγγελ. Ματθ. ή. 20.).

### Περὶ Εὐκτικῶν.

Τὰ δὲ Εὐκτικὰ ἐπὶ μὲν μέλλοντι εὐκτικῷ συντάσσεται· οἷον· Εἴθε σοι γένοιτο! ἐπὶ δὲ παρεληλυθότων, ὁριστικῷ· οἷον. Εἴθε ἔγραψεν!

## Τῶν Συνδέσμων.

Τῶν δὲ Συνδέσμων διαφόρους συνδέσεις ποιούντων τῶν μερῶν τοῦ λόγου, καὶ τῶν λόγων, κατὰ τὴν χρείαν, πρὸς ἀποπλήρωσιν διανοίας αὐτοτελοῦς· διαφόρως ἕκαστοι συντάσσονται.

### Περὶ Συμπλεκτικῶν.

Τῶν μὲν γὰρ Συμπλεκτικῶν ὁ μὲν Τε καὶ ὁ Καὶ συμφέρονται τὰ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006